# IV. [ΜΟΣΧΟΥ] ΜΕΓΑΡΑ

ʽ Μῆτερ ἐμή, τίφθ᾽ ὧδε φίλον κατὰ θυμὸν ἰάπτεις
ἐκπάγλως ἀχέουσα, τὸ πρὶν δέ τοι οὐκέτ᾽ ἔρευθος
σῴζετ᾽ ἐπὶ ῥεθέεσσι; τί μοι τόσον ἠνίησαι;
ἦ ῥ᾽ ὅ τοι ἄλγεα πάσχει ἀπείριτα φαίδιμος υἱός
ἀνδρὸς ὑπ᾽ οὐτιδανοῖο, λέων ὡσεί θ᾽ ὑπὸ νεβροῦ;
ὤμοι ἐγώ, τί νυ δή με θεοὶ τόσον ἠτίμησαν
ἀθάνατοι; τί νύ μ᾽ ὧδε κακῇ γονέες τέκον αἴσῃ;
δύσμορος, ἥτ᾽ ἐπεὶ ἀνδρὸς ἀμύμονος ἐς λέχος ἦλθον,
τὸν μὲν ἐγὼ τίεσκον ἴσον φαέεσσιν ἐμοῖσιν
ἠδ᾽ ἔτι νῦν σέβομαί τε καὶ αἰδέομαι κατὰ θυμόν,
τοῦ δ᾽ οὔτις γένετ᾽ ἄλλος ἀποτμότερος ζωόντων
οὐδὲ τόσων σφετέρῃσιν ἐγεύσατο φροντίσι κηδέων.
σχέτλιος, ὃς τόξοισιν, ἅ οἱ πόρεν αὐτὸς Ἀπόλλων
ἠέ τινος Κηρῶν ἢ ᾿Ερινύος αἰνὰ βέλεμνα,
παῖδας ἑοὺς κατέπεφνε καὶ ἐκ φίλον εἵλετο θυμόν
μαινόμενος κατὰ οἶκον, ὃ δ᾽ ἔμπλεος ἔσκε φόνοιο.
τοὺς μὲν ἐγὼ δύστηνος ἐμοῖς ἴδον ὀφθαλμοῖσι
βαλλομένους ὑπὸ πατρί, τό τ᾽ οὐδ᾽ ὄναρ ἤλυθεν ἄλλῳ,
οὐδέ σφιν δυνάμην ἀδινὸν καλέουσιν ἀρῆξαι
μητέρ᾽ ἑήν, ἐπεὶ ἐγγὺς ἀνίκητον κακὸν ἦεν.
ὡς δ᾽ ὄρνις δύρηται ἐπὶ σφετέροισι νεοσσοῖς
ὀλλυμένοις, οὕς τ᾽ αἰνὸς ὄφις ἔτι νηπιάχοντας
θάμνοις ἐν πυκινοῖσι κατεσθίει, ἡ δὲ κατ᾽ αὐτούς
πωτᾶται κλάζουσα μάλα λιγὺ πότνια μήτηρ,